p. 483e. καὶ γοητεύοντες.

οὗτος τὸ γοητεύειν ἐνύλως ἔλαβεν, ἐπεὶ ἔστιν καὶ ἐνθέως 10
γοητεῦσαι· οὕτω γ' οὖν δεῖ γοητεύειν λόγοις καὶ καταψήχειν
τὰ πάθη.

p. 484a. ἀποσεισάμενος καὶ διαρρήξας.

ἀληθείας μὲν οὐ φροντίζει ὁ Καλλικλῆς, πάνυ δὲ ῥητορι- 11
κῶς διαγίνεται ἐπαίρων τὸν λόγον.

p. 484a. ἀνεφάνη δεσπότης ἡμέτερος.

πῶς δεσπότης ὁ πάθεσι δουλεύων, ὥστε κάκιστος δοῦλος 12
μᾶλλόν ἐστιν ἤπερ δεσπότης ὁ τοιοῦτος.

p. 484b. δοκεῖ δέ μοι καὶ Πίνδαρος.

ἀπὸ ποιητῶν ὁ Καλλικλῆς πιστοῦται, ὅτι οἱ ἰσχυρότεροι 13
κρατοῦσι τῶν ἀσθενεστέρων· οὐκ εἰδότως δὲ φθέγγεται· δεῖ γὰρ εἰδέναι κατὰ ποίαν ἔννοιαν ταῦτα λέγουσιν, ἐπεὶ καὶ οἱ μῦθοι αὐτοὶ ἔχουσιν ἄλλο τι κεκρυμμένον· οὕτω γ' οὖν καὶ ὁ Πίνδαρος νόμον λέγει τὸν ὄντως νόμον, καὶ γὰρ ὁ Ἡρακλῆς οὐκ ἄδικος ἀλλὰ προσεκκόπτων τὰ πάθη· οὐ γὰρ ἐβιάσατο τὸν Γηρυόνην καὶ ἄνευ τοῦ πρίασθαι τὰς βοῦς ἔλαβεν βίᾳ, ἀλλὰ τῶν ἀδίκως ἐχόντων ἀφῃρεῖτο· προφέρει δὲ καὶ ἀπὸ Ἀντιόπης τοῦ δράματος Εὐριπίδου ἰάμβια διάφορα προτρεπόμενος τὸν Σωκράτην μὴ φιλοσοφεῖν, ἀλλὰ μᾶλλον τὸν πολιτικὸν βίον ζῆν· καὶ λέγει αὐτῷ, ὅτι τὰ μειράκια παιδείαν μεταχειρίζεσθαι φιλοσοφίαν ἐπαινῶ, τὸ δὲ γέροντας μὴ καταφρονεῖν μωρόν. ἰστέον, ὅτι δεῖ ἀεὶ μὲν μεταδιώκειν τὴν φιλοσοφίαν καὶ νέον ὄντα διὰ τὸ κατευνάζεσθαι τὰ πάθη, μάλιστα δὲ καὶ γέροντας, ἐπειδὴ τότε ἤρξαντο μὲν λωφᾶν τὰ πάθη, ἀνθεῖ δὲ ὁ λόγος· δεῖ οὖν ἀεὶ ἔχειν τὴν φιλοσοφίαν προστάτιν, ἐπειδὴ αὕτη τὸ τῆς Ὁμηρικῆς Ἀθηνᾶς ποιεῖ ἀχλὺν ἀποσκεδαννῦσαι· ἰστέον δὲ ὅτι ἐπειδὴ αἱ χρήσεις ἔχουσι λέξεις ποιητικὰς διὰ τὸ τοῦ λόγου πεζὸν ἀμείβει λέξεις καὶ οὕτω προφέρει τὸν λόγον.

---

1 cf. Gorg. Hel. 10   6 cf. Z 506 sqq.; Herod. VII 88   15 Pind. fr. 169 (Bgk.)   19 Eurip. fr. 183   28 E 127

---

23 mg. ὅτι κατὰ πᾶσαν ἡλικίαν δεῖ μεταδιώκειν φιλοσοφίαν